# TEZAUR LITURGIC

## 16 APRILIE
## +CHIRIL KOGHERAKIS, MITROPOLITUL RHODOSULUI

# PARACLISUL SF.CUVIOS AMFILOHIE MAKRIS DE LA PATMOS

**RHODOS,2020**


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 16 ΑΠΡΙΛΙΟΣ
# ΑΜΦΙΛΟΧΙΟΣ ΟΣΙΟΣ ΠΑΤΜΟΥ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Μητροπολίτου Ῥόδου Κυρίλλου Κογεράκη**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*
*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ἀγγελικῶς πολιτευθεὶς ἐν τῇ Πάτμῳ, ἀγγελικοῖς ἐν οὐρανοῖς συναυλίας, τῇ δωρεᾷ ἠξίωσαι, Χριστοῦ τοῦ Θεοῦ· .Ὧ καὶ παριστάμενος, λαμπρυνόμενος αἴγλῃ, ὅλος τῆς θεώσεως, Ἀμφιλόχιε Πάτερ, ὑπὲρ ἡμῶν ἱκέτευε Αὐτόν, ἵνα ῥυσθῶμεν, κινδύνων καὶ θλίψεων.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις: *Κυρίλλου.*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Χριστὸν ἀγαπήσας ἀπὸ παιδός, Αὐτῷ ᾠκειώθης, τῇ ἀσκήσει τῶν ἀρετῶν· διὸ ἐκδυσώπει τοῦ σωθῆναι, τοὺς ὑμνητάς σου σοφὲ Ἀμφιλόχιε.

Σαυτὸν ἀποστήσας τῶν κοσμικῶν, καὶ βίον ἐν κόσμῳ, ἀγγελότροπον μετασχών, ἔσο μετ’ Ἀγγέλων ταῖς εὐχαῖς σου, ἡμῶν προστάτης καλὸς Ἀμφιλόχιε.

Σαυτὸν τῷ Κυρίῳ ὡς προσφοράν, ἀσκήσεως πόνοις, ὁ προσοίσας δίδου ἡμῖν, εὐχαῖς σου Αὐτῷ ἐν μετανοίᾳ, πιστῶς λατρεύειν σοφὲ Ἀμφιλόχιε.

*Θεοτοκίον.*

Κατάρδευσον ῥείθροις ζωοποιοῖς, ἄχραντε Μαρία, οἰκτιρμῶν Σου τῶν μητρικῶν, εἰς κόρον ψυχάς τε καὶ καρδίας, τῶν προσκυνούντων τὸν ἄφθορον τόκον Σου.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Οὐρανίων ἁψίδων ἐπιποθῶν οἴκησιν, πάντων τῶν προσύλων ἀσκήσει, ὤφθης ἀνώτερος· ὅθεν πρεσβείαις σου, δεῖξον ἡμᾶς ἀνωτέρους, Πάτερ Ἀμφιλόχιε, παθῶν φαυλότητος.

Τῶν ναμάτων ἐπλήσθης τῆς τοῦ Θεοῦ χάριτος, ὡς Εὐαγγελίου ῥυθμίσας, νόμῳ τὸν βίον σου· ὅθεν χαρίτωσον, πάντων ψυχὰς καὶ καρδίας, Πάτερ Ἀμφιλόχιε, τῶν ἀνυμνούντων σε.

Νοσημάτων παντοίων καὶ πειρασμῶν λύτρωσαι, τοὺς προσερχομένους ἐκ πόθου, τῇ μεσιτείᾳ σου· σὺ γὰρ ὡς γνήσιος, Θεοῦ θεράπων καὶ φίλος, Πάτερ Ἀμφιλόχιε, ἔχεις τὸ δύνασθαι.

*Θεοτοκίον.*

Ὑπερύμνητε Μῆτερ ὑπὲρ ἡμῶν πρέσβευε, τῷ ἐνανθρωπήσαντι Λόγῳ, ἐκ τῶν αἱμάτων Σου, ὡς ἂν ῥυώμεθα, πάσης ἐν βίῳ ἀνάγκης, οἱ ὑμνολογοῦντές Σε, τὴν Θεομήτορα.

Διάσωσον, ἀπὸ παντοίων τοῦ βίου πειρατηρίων, Ὁσίων κλέος σοφὲ Ἀμφιλόχιε, τοὺς τῇ πρεσβείᾳ σου πίστει προσερχομένους.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ἐκ Πάτμου ζωῆς ὁσίας κατορθώμασι, ἀστὴρ τηλαυγής, τῇ Ἐκκλησίᾳ ἔλαμψας· διὸ Ἀμφιλόχιε, Ἐκκλησίας ἔνθεον καύχημα, τῇ φωταυγείᾳ χάριτος τῆς σῆς, καταύγασον πάντας τοὺς τιμῶντάς σε.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὡς φιλεύσπαγχνος φάνηθι, Πάτερ Ἀμφιλόχιε θεῖος σύμμαχος, τῇ πρεσβείᾳ σου πρὸς Κύριον, τοῖς ἐν κατανύξει εὐφημοῦσί σε.

Ὁ ἰσάγγελον οἴκησιν, ἀγγελοειδῆ σου βίῳ κτησάμενος, Ἀμφιλόχιε πρυτάνευε, δόσεις σωτηρίους τοῖς τιμῶσί σε.

Τὰς ὁδοὺς ἡμῶν εὔθυνον, ἐν τοῖς δικαιώμασιν Ἀμφιλόχιε, τοῦ παντάνακτος τοῦ δόντος σοι, τῆς ἀθανασίας τὸ διάδημα.

*Θεοτοκίον.*

Ῥῦσαι ἄχραντε Δέσποινα, ἐκ τῶν ἐπιθέσεων τοῦ ἀλάστορος, τοὺς πιστῶς ἐξαιτουμένους Σε, βοηθὸν ἐν βίῳ καὶ ὑπέρμαχον.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Πάντοτε ἡμῶν, Ἀμφιλόχιε προστάτευε· ὡς θεράπων γὰρ πιστότατος Χριστοῦ, παῤῥησίας πρὸς αὐτὸν ἔχεις τὴν δύναμιν.

Θεῖος ὡς ποιμήν, μοναζόντων Ἀμφιλόχιε, μὴ ἐλλίπῃς τοῦ ποιμαίνειν σαῖς εὐχαῖς, ἐπὶ χλόην σωτηρίας τοὺς ὑμνοῦντάς σε.

Φύλαττε ἡμᾶς, ἐν τῇ πίστει Ἀμφιλόχιε, τοῦ λαοῦ τοῦ Ὀρθοδόξου ὁ προστάς, ἐν ἡμέραις ἀλλοδόξων τῆς χειρώσεως.

*Θεοτοκίον.*

Ἴασαι Ἁγνή, τῆς ψυχής μου τὴν ἀσθένειαν· τῶν ἀνθρώπων γὰρ τὸν μέγαν ἰατρόν, ἐξ αἱμάτων Σου ἁγίων ἀπεκύησας.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Χαρίσματα, δαψιλῶς τὰ κρείττονα, τῶν δοθέντων δωρεῶν σοι θεόθεν, μὴ διαλίπῃς ἀεὶ διανέμων, ἡγιασμένε σοφὲ Ἀμφιλόχιε, τοῖς καταφεύγουσι πιστῶς, τῶν σεπτῶν σου λειψάνων τῇ λάρνακι.,

Ὁσίων, ἐν οὐρανοῖς ταῖς τάξεσιν, συγχορεύων ὡς ὁσίως βιώσας, καὶ τῆς θεώσεως αἴγλῃ ἀστράπτων, ἐν μετοχῇ τοῦ Θεοῦ Ἀμφιλόχιε, μνημόνευε πάντων ἡμῶν, τῶν φερόντων σοι ὕμνον ἐπάξιον.

Δυνάμει, τῇ μυστικῇ τῆς χάριτος, τὸν ἀγῶνα τὸν καλὸν ἐκτελέσας, ἰσχὺν καὶ δύναμιν αἴτει ἐν βίῳ, τοῖς ὑμνηταῖς σου ἡμῖν Ἀμφιλόχιε, ἵνα ἐχθροῦ τοῦ πονηροῦ, τῶν δολίων παγίδων ἐκφύγωμεν.

*Θεοτοκίον.*

Λαμπρότατον, τοῦ Θεοῦ ἀνάκτορον, ἀναδέδειξαι Παρθένε Μαρία, τῆς Παναγίας Τριάδος τὸν ἕνα, δίχα τροπῆς καὶ φυρμοῦ σωματώσασα· ὅθεν τῆς δόξης Σου φωτί, τὴν ἀθλίαν ψυχήν μου καταύγασον.

Διάσωσον, ἀπὸ παντοίων τοῦ βίου πειρατηρίων, Ὁσίων κλέος σοφὲ Ἀμφιλόχιε, τοὺς τῇ πρεσβείᾳ σου πίστει προσερχομένους.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Ὁσίων κλέος σοφὲ Ἀμφιλόχιε, Εὐαγγέλιου τὸ θεῖον ἀπάνθισμα, δυνάμει γενοῦ τῆς πρεσβείαις σου, καταφυγὴ ἐν ἀνάγκαις σωτήριος, τοῖς θεῖον προστάτην ποθοῦντάς σε.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς Αὐτοῦ θελήσει σφόδρα.*

*Εὐαγγέλιον. Κατὰ Ματθαῖον (Κεφ. ΙΑ΄, 27-30)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει

τὸν υἱὸν εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Πάτερ Ἀμφιλόχιε, τῇ ἐν ἀσκήσει ζωῇ σου, τοῦ Ἁγίου Πνεύματος, δαψιλῶς ἀπέλαβες τὰ χαρίσματα· ὅθεν δοξάζων σε, ὡς ἡγιασμένον, ὁ Θεὸς καὶ μετὰ θάνατον, πηγὴν θεόβρυτον, ἄλλην Σιλωὰμ ἀπειργάσατο, τὴν θήκην τῶν λειψάνων σου, πᾶσι τὰς ἰάσεις βραβεύουσαν, τοῖς προσερχομένοις, αὐτῇ καὶ εὐφημοῦσί σε πιστῶς, Εὐαγγελίου τῆς χάριτος, ῥόδον τὸ ἀμάραντον.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Θεοδώρητος χάρις ἀενάως πηγάζει ἐκ τῶν λειψάνων τῶν σῶν, δι᾽ ἧς εὔφρανον πάντας, ἡμᾶς οὕτω βοῶντας, θαυμαστὲ Ἀμφιλόχιε· Χαῖρε Χριστοῦ τοῦ Θεοῦ, ὁ γνήσιος θεράπων.

Ἐν καιρῷ τρικυμίας ἀναγκῶν τῶν τοῦ βίου καὶ πειρασμῶν χαλεπῶν, θερμότατον προστάτην, καὶ ῥύστιν εὕροιμί σε, ἱερὲ Ἀμφιλόχιε· σὺ γὰρ ὁσίᾳ ζωῇ, Θεῷ οἰκεῖος ὤφθης.

Πολιτείας ἐνθέου ἐπιδόσεσιν ὄρη τῶν ἀρετῶν ἀναβάς, τῇ σῇ ἐπικουρίᾳ, ἀνύψωσον πρὸς ὕψος, Ἀμφιλόχιε Ὅσιε, ἀγάπης θείας Θεοῦ, τοὺς σὲ ὑμνολογοῦντας.

*Θεοτοκίον.*

Λυπηρῶν ἀνηκέστων τῶν ἐν βίῳ συντήρει ἀπαρατρώτους ἁγνή, χαρᾶς καὶ εὐφροσύνης, τοὺς ἐν πίστει βοῶντάς Σοι· χαῖρε Παρθένε σεμνή, τοῦ κόσμου προστασία.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Τῆς ῥαθυμίας, τῆς ἐκ παθῶν ἡμᾶς ῥῦσαι, Ἀμφιλόχιε θερμῇ ἐπισκοπῇ σου, καὶ δίδου διάγειν, καλῶς ἡμῖν τὸν βίον.

Ἀπὸ κακίστης, συκοφαντίας ἀνθρώπων, Ἀμφιλόχιε τῇ σῇ ἐπιστασίᾳ, ῥύου ἡμᾶς πάντας, τοὺς σὲ ὑμνολογοῦντας.

Ὡς κεκτημένος, τῶν ἰαμάτων τὴν χάριν, Ἀμφιλόχιε τοῖς σοῖς πιστοῖς ἱκέταις, δίδου τὴν κατ᾽ ἄμφω, ὡς εὔσπλαγχνος ὑγείαν.

*Θεοτοκίον.*

Ὅρμον Παρθένε, ἐν πειρασμῷ τῷ πελάγει, τῆς πρεσβείαις σου εὑράμενοι τὴν χάριν, μακαρίζομέν σε, ὡς μόνην Θεοτόκον.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ὁσίων ἡ ἀκρότης, καὶ τῶν ἱερέων, ἡ κοσμιότης σοφὲ Ἀμφιλόχιε, ταῖς ἐντολαῖς τοῦ Κυρίου, ἡμᾶς συνέτισον.

Μὴ παύσῃ ἐποπτεύων, θείων ἐξ ἁψίδων, τοὺς πεποιθότας σοφὲ Ἀμφιλόχιε, τῇ παναλκίμῳ δυνάμει, τῆς προστασίας σου.

Βραβεύων μὴ ἐλλίπῃς, δόσεις σωτηρίους, ἄνερ Κυρίου σοφὲ Ἀμφιλόχιε, τοῖς καταφεύγουσι πίστει, τῇ ἀντιλήψει σου.

*Θεοτοκίον.*

Ὑπέραγνε Μαρία, κεχαριτωμένη, ἡ τὸν Θεὸν ἀπειράνδρως κυήσασα, Αὐτὸν δυσώπει σωθῆναι, τοὺς ὑμνολόγους Σου.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις τῶν Ὁσίων ὁ κοινωνός, καὶ τῶν ἱερέων, Ἀμφιλόχιε ὁ κανών· χαίροις ὁ τῆς Πάτμου, βλαστὸς Ἡγιασμένος, καὶ τῆς Δωδεκανήσου, κλέος καὶ καύχημα.

Βίον ἐκτελέσας ἀσκητικόν, ἔρωτι Κυρίου, Ἀμφιλόχιε ἐπὶ γῆς, ἐν τῇ Βασιλείᾳ, τῶν οὐρανῶν ἀγάλλῃ, ὑπὲρ ἡμῶν πρεσβεύων, τῶν εὐφημούντων σε.

Πάτμου τὸν φωστῆρα τὸν φαεινόν, ὑμνοῦμέν σε πόθῳ, Ἀμφιλόχιε οἱ πιστοί· μὴ οὖν καταισχύνῃς, τοὺς ἐπικαλουμένους, ἐν βίου ταῖς ἀνάγκαις, θεῖον προστάτην σε.

Ζήλῳ ἐν τῇ Πάτμῳ ἀγωνισθείς, ἐν ἀποδημίαις, Ἀμφιλόχιε ἱεραῖς, ἀπόστολος ἄλλος, Χριστοῦ τῇ Ἐκκλησίᾳ, ἐφάνης ἐν ἐσχάτοις· διὸ τιμῶμέν σε.

Τοῦ Ἠγαπημένου σκέπε ἀεί, τῆς Μητρὸς τὴν Μάνδραν, Ἀμφιλόχιε σαῖς εὐχαῖς, ἧς κτίτωρ ἐγένου, καὶ ἄριστος δομήτωρ, προνοίᾳ τοῦ Κυρίου, τοῦ σὲ δοξάζοντος.

Ἔχοντες σε πρέσβυν πρὸς ταὸν Θεόν, πάντες σοι βοῶμεν· Ἀμφιλόχιε ἐκ ψυχῆς· πρέσβευε ἀπαύστως, ἵνα τῆς αἰωνίου, ζωῆς ἀξιωθῶμεν, οἱ εὐφημοῦντές σε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός

ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σὲ μὴ ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Τοῦ Ἠγαπημένου τῆς Μητρός, σκέπε τὴν Μονὴν ὡς ὑπάρχων, δομήτωρ θεῖος αὐτῆς· Πάτμου ὡς πατρίδος σου, ἀεὶ προστάτευε· τοῖς πιστῶς σου τὰ λείψανα, κατασπαζόμενοις, τὴν δοθεῖσαν χάριν σοι, ἀφθόνως πάρεχε· ῥύου δὲ δεινῶν ἐκ κινδύνων, Πάτερ Ἀμφιλόχιε πάντας, τοὺς τῇ ἀντιλήψει σου προστρέχοντας.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι’ εὐχῶν.*

